Λοξῶν ςροφαλίγγων καμπύλων θ' εἱλήσεων
Αὐτὸς σεαυτὸν ἐν ζόφῳ ποδηγετῶν.
Ἐπὰν δ' ἀναχθῇς εἰς τὸ φῶς, ἀνηλίους
Μελαμπέπλους κευθμῶνας ἀγνοίας φυγὼν
Δέλτοις ἐναργῶς ταῖσδε δαδουχούμενος,
Εἴς τ' ἀνθεμώδεις εὐδρόσους πολυῤῥόδους
Λειμῶνας ἐλθὼν, ξυγχορευτὴς ἐννέα
Γένη διὸς κούραισι λωφήσας πόνων,
Μὴ δυσχαρίσει τῆμος, ἀλλὰ τὴν χάριν
Μέμνησο τῷ 'νάψαντι δᾶδα καὶ σέλας
Οὐρβανὲ φήσας χαῖρε, καί σοι ζεὺς μέγας
Λαμπτῆρος ἀντὶ τοῦδε τῷ, πελασγικῶν
Ὅρμων ἐελδομένοισι πυρσεύσας ἔχεις,
Δοίη μετ' εὐαίωνα τοῦ γήρως ῥοπὴν
Τῶν τῇδ' ἀπαλλαγέντι, κληρούχῳ πέλειν
Χώρας μακαίρας τῆς ἀν' εὐρὺν οὐρανόν·
Θείοις τ' ἐποπτήρεσσι συμβιοῦν ἐκεῖ
Τριλαμποφώτου καὶ τρισηλίου φάους.

Petit in-4° de deux feuillets non chiffrés. Le texte commence immédiatement après le titre, au feuillet 1 recto, et se termine au recto du feuillet 2, qui comprend quatre vers seulement. Le verso de ce même feuillet est blanc. Cette pièce de vers rarissime est un Éloge par MARC MUSURUS de la *Grammaire grecque* d'Urbain Bolzani, dont la première édition parut, en 1497, à Venise. Nous avons cru devoir le reproduire intégralement, en conservant la ponctuation de l'original. Le seul exemplaire que nous en connaissions appartient à Théodore Avramiotis ; il fait partie d'un Recueil factice comprenant un certain nombre d'opuscules tous du seizième siècle et pour la plupart imprimés en Italie.

En tête de ce Recueil, sur le verso de la feuille de garde, on lit, en gros caractères, *DIONISIO DALLA VECCHIA :* sans doute le Serbe de ce nom qui fut, en 1536, gardien de la Colonie grecque de Venise. (Cf. J. Veloudo, Ἑλλήνων ὀρθοδόξων ἀποικία ἐν Βενετίᾳ, p. 173 ; et la Stampa, publiée, en 1743, par certains Grecs de Venise, *Al Laudo,* p. 3.)